ροις οὐδ' ἐν θεσφάτοις,
εἰ μὴ τόδε φάσμα νυ-
κτὸς εὖ κατασχήσει.

ὦ Πέλοπος ἁ πρόσθεν ἐπ.
πολύπονος ἱππεία,
ὡς ἔμολες αἰανὴς
τᾷδε γᾷ.
εὖτε γὰρ ὁ ποντισθεὶς
Μυρτίλος ἐκοιμάθη,
παγχρύσων δίφρων
δυστάνοις αἰκείαις
πρόρριζος ἐκριφθείς,
οὔ τί πω
ἔλιπεν ἐκ τοῦδ' οἴκου
πολύπονος αἰκεία.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ

ἀνειμένη μέν, ὡς ἔοικας, αὖ στρέφῃ.
οὐ γὰρ πάρεστ' Αἴγισθος, ὅς σ' ἐπεῖχ' ἀεὶ
μή τοι θυραίαν γ' οὖσαν αἰσχύνειν φίλους·
νῦν δ' ὡς ἄπεστ' ἐκεῖνος, οὐδὲν ἐντρέπῃ
ἐμοῦ γε· καίτοι πολλὰ πρὸς πολλούς με δὴ
ἐξεῖπας ὡς θρασεῖα καὶ πέρα δίκης
ἄρχω, καθυβρίζουσα καὶ σὲ καὶ τὰ σά.
ἐγὼ δ' ὕβριν μὲν οὐκ ἔχω, κακῶς δέ σε
λέγω κακῶς κλύουσα πρὸς σέθεν θαμά.
πατὴρ γάρ, οὐδὲν ἄλλο, σοὶ πρόσχημ' ἀεί,
ὡς ἐξ ἐμοῦ τέθνηκεν. ἐξ ἐμοῦ· καλῶς
ἔξοιδα· τῶνδ' ἄρνησις οὐκ ἔνεστί μοι.

506 *αἰανὴς* L^ac^ Lb^c^ : *αἰανὴ* L^c^ A rec : *αἰανῆ* Σ  511 *αἰκίαις* codd.  512 *ἐκριφείς* L^ac^ rec Suid. v. *πρόρριζος*  513 *οὔ τίς πω* codd. : corr. Hermann  514 *ἔλιπεν* rec : *ἔλειπεν* L A rec  *οἴκου*] *οἴκους* L^ac^ rec Σ (ad v. 508)  515 *πολύπονος*] *πολυπάμονας* (*πολυπήμονας* Bothe) Bergk ex Σ ad v. 508 (*τοὺς πολυκτήμονας δόμους*)  *αἰκία* codd.  516 *αὖ στρέφῃ* A rec Suidae v. *ἀνειμέναι* plures : *αὖ τρέφῃ* L rec Eustath. 168, 36 : *ἐκτρέφῃ* Suidae A